Τί ἀξιώτατός εἰμι παθεῖν;

μᾶλλον τῶν ἄλλων ἀνθρώπων

ἠμέλησα χρημάτων τε καὶ οἰκονομίας

καὶ στρατηγιῶν καὶ τῶν ἄλλων ἀρχῶν.

εὐεργετῶ δὲ τὴν μεγίστην  εὐεργεσίαν·

οὐδὲν γὰρ ἄλλο πράττων

ἐγὼ περιέρχομαι

ἢ πείθων ὑμῶν καὶ νεωτέρους καὶ πρεσβυτέρους

μήτε σωμάτων ἐπιμελεῖσθαι μήτε χρημάτων,

ἀλλὰ τῆς ψυχῆς,

ὡς ἀρίστη γίγνηται,

λέγων ὅτι

οὔποτε ἐκ χρημάτων

ἀρετὴ γίγνεται τοῖς ἀνθρώποις,

ἀλλ΄  ἐξ ἀρετῆς

χρήματα καὶ τὰ ἄλλα ἀγαθὰ ἅπαντα

καὶ ἰδίᾳ καὶ δημοσίᾳ.

καὶ ἐθέλω

    ἕκαστον

    τοιαῦτα ποιοῦντα

    γίγνεσθαι ὡς ἄριστον καὶ φρονιμώτατον.

τί οὖν εἰμι ἄξιος παθεῖν

τοιοῦτος ὤν;

μάλιστα ἀγαθόν τι,

ὦ ἄνδρες ᾿Αθηναῖοι.

τί οὖν πρέπει ἀνδρὶ πένητι εὐεργέτῃ;

μάλα πρέπει

    τὸν τοιοῦτον ἄνδρα ἐν πρυτανείῳ σιτεῖσθαι,

πολύ γε μᾶλλον ἢ

    εἴ τις ὑμῶν ἵππῳ ᾿Ολυμπιονίκης ἐστίν.

ὁ μὲν γὰρ {ὑμᾶς} ποιεῖ

    [ὑμᾶς] εὐδαιμονεστέρους δοκεῖν εἶναι,

ἐγὼ δὲ {ὑμᾶς} ποιῶ

    [ὑμᾶς] ἀληθῶς εὐδαιμονεστάτους εἶναι.